UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Scholia graeca in Aristophanem

### Dübner, Friedrich

### Parisiis, 1842

Ἐκκλησιάζουσαι

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-5255

Visual Library

# ΕΚΚΛΗΣΙΑΖΟΥΣΑΙ.

## ΥΠΟΘΕΣΕΙΣ.

### I.

Αἱ γυναῖκες συνέθεντο πάντα μηχανήσασθαι εἰς τὸ δόξαι ἄνδρες εἶναι, καὶ ἐκκλησιάσασαι πεῖσαι παραδοῦναι σφίσι τὴν πόλιν, δημηγορησάσης μιᾶς ἐξ αὐτῶν. αἱ δὲ μηχαναὶ τοῦ δόξαι αὐτὰς ἄνδρας εἶναι τοιαῦται. πώγωνας περιθέτους καὶ ἀνδρείαν ἀναλαμβάνουσι στολὴν, προνοήσασαι καὶ προασκήσασαι τὸ σῶμα αὐτῶν, ὡς ὅτι μάλιστα ἀνδρικὸν εἶναι δόξαι. μία δὲ ἐξ αὐτῶν Πραξαγόρα λύχνον ἔχουσα προέρχεται κατὰ τὰς συνθήκας καὶ φησὶν « ὦ λαμπρὸν ὄμμα. »

### II.

## (ΑΡΙΣΤΟΦΑΝΟΥΣ

### ΓΡΑΜΜΑΤΙΚΟΥ.

Ἐν τοῖς Σκίροις τὰ γύναι' ἔκρινεν ἐν στολαῖς
ἀνέρων προκαθίζοντα, γενομένης ἐκκλησίας,
περιθέμεναι πώγωνας ἀλλοτρίων τριχῶν.
ἐποίησαν οὕτως. ὑστεροῦντες οὖν στολαῖς
ἄνδρες γυναικῶν ἐκάθισαν· καὶ δὴ μία
δημηγορεῖ περὶ τοῦ λαβούσας τῶν ὅλων
τὴν ἐπιτροπὴν βέλτιον ἄρξειν μυρίῳ·
ἐκέλευσέ τ' εἰς κοινὸν φέρειν τὰ χρήματα
καὶ χρῆσθ' ἅπασιν ἐξ ἴσου ταῖς οὐσίαις
καὶ ταῖς γυναιξὶ μετατίθεσθαι τοὺς νόμους.)

## SCHOLIA IN ECCLESIAZUSAS.

1. Ὦ λαμπρὸν : Πραξαγόρα λύχνον ἔχουσα προέρχεται. (ὑποπτεύεται δὲ ὁ ἴαμβος ἢ τοῦ Ἀγάθωνος ἢ τοῦ Δικαιογένους, διὰ τὰς ἑταίρας ἐγκαθιζομένας. ὁ πρὸς οὐδὲν εἶπεν, ἀλλὰ μόνον ὅτι τὰς ἑταίρας δεῖ πως.) βούλεται δὲ εἰπεῖν ὅτι τοὺς ἄνδρας προλάβωμεν εἰς τὴν ἐκκλησίαν.

τοῦ τροχηλάτου : Διὰ τὸν κεράμεον τροχόν. καταχρηστικῶς δὲ εἶπεν· οὐ γὰρ ἐν τροχῷ ἐλαύνεται, ἀλλὰ τύπῳ γίνεται.

2. κάλλιστα : Ἡ ἔννοια, κάλλιστα τοῖς σοφοῖς εὑρημένον, τοῖς εὖ σκεπτομένοις. οἱ δὲ τοῖς φύλαξιν, ὅτι μετὰ λύχνων σκοποῦσιν. (ῥύμης δὲ τῆς ὁρμῆς.)

6. ὄρμα φλογός : Σύμβολον ἡμῖν δίδου περὶ τῶν συγκειμένων διὰ τῆς φλογός.

10. χορδουμένων : Κινουμένων. τοῦτο δὲ λέγει, ἐπεὶ οἱ συνουσιάζοντες κινοῦνται.

12. ἀπορρήτους μυχούς : Τὸ αἰδοῖον λέγει τῆς γυναικὸς, διὰ τὸ μηδένα αὐτὸ βλέπειν.

13. (ἀφαύων : Ἀποξυρῶν.)
τρίχα : Τοῦ αἰδοίου τὴν ἐπικειμένην τρίχα.

14. στοάς : Τὰ ταμιεῖα στοὰς λέγουσι. καὶ γὰρ παραμήκη. — ἐν αἷς ὁ σῖτος. R.

18. Σκίροις : Σκίρα ἑορτή ἐστι τῆς Σκιράδος Ἀθηνᾶς, Σκιροφοριῶνος ιβ'. οἱ δὲ Δήμητρος καὶ Κόρης. ἐν ᾗ ὁ ἱερεὺς τοῦ Ἐρεχθέως φέρει σκιάδειον λευκὸν, ὃ λέγεται σκῖρον.

22. ἃς Σφυρόμαχος : (Γράφεται) ἃς Κλεόμαχος. (καὶ) φασὶ Κλεόμαχον τραγικὸν ὑποκριτήν. οὗτος φαίνεται ὑποκρινόμενός ποτε εἰρηκέναι ἕδρας ἐν δράματι καὶ ἐσκῶφθαι διὰ τὸ κακέμφατον. ὁ δὲ Σφυρόμαχος ψήφισμα εἰσηγήσατο, ὥστε τὰς γυναῖκας καὶ τοὺς ἄνδρας χωρὶς καθέζεσθαι καὶ τὰς ἑταίρας χωρὶς τῶν ἐλευθέρων.

26. θαἰμάτια, τὰ ἱμάτια. R.

30. ὥρα βαδίζειν : Μία τῶν ἐρχομένων γυναικῶν πρὸς τὴν Πραξαγόραν ταῦτα λέγει. — κῆρυξ ὁ ἀλέκτωρ. R.

34. θρυγονῶσα : Ἡσύχως κνῶσα.

36. ὑποδουμένη : Τὰ ὑποδήματα βάλλουσα. κνίσμα σου τὸν ἠρεμαῖον κνισμόν.

38. Σαλαμίνιος : Ὡς ναυτικῶν ὄντων τῶν Σαλαμινίων καὶ κατωφερῶν. δύναται δὲ καὶ ἀπὸ τῆς Σαλαμινίας νεὼς νοεῖσθαι τὸ Σαλαμίνιος, ὡς ἀπὸ τῆς Παράλου Παράλιος.

45. κἀρεβίνθων : Ὑποπίνοντες γὰρ ἔκαπτον φρυκτοὺς ἐρεβίνθους.

46. τὴν Σμικυθίωνος : (Λείπει) γυναῖκα.
47. ἐμβάσιν : Ἐμβὰς ἀνδρεῖον ὑπόδημα.
48. κατὰ σχολήν : ἀντὶ τοῦ μόλις ἢ ἀψοφητί. R. L.
49. Γευσιστράτην : Παρὰ τὴν Λυσιστράτην εἴρηται.
50. τὴν λαμπάδα : Τὴν δᾶδα λέγει διὰ τὸ νύκτα εἶναι.
53. ἔστ' ὄφελος : Ἀντὶ τοῦ αἱ εὐγενεῖς.
56. τριχίδων : Λέγει τῶν καλουμένων νῦν θρισσῶν. αὗται δὲ ἐσθιόμεναι βῆχα ἀνεγείρουσιν.
60. ἔχω τὰς μασχάλας : Ἔθρεψαν γὰρ τρίχας, ἵνα ὅταν χειροτονῶσι, δοκῶσιν ἄνδρες εἶναι.
61. λόχμης : ἀντὶ τοῦ συμφύτου τόπου. R.
61. πρὸς τὸν ἥλιον : Ὥστε μέλαινα γενέσθαι ὡς ἀνήρ.

68. ἔρριψα : Ξυρὸν ἔρριψα, ἵνα μὴ βλέπουσα αὐτὸ ἐρεθιζοίμην πρὸς ξυράν.

71. Ἐπικράτους : (Οὗτος εἰς δασύτητα κωμῳδεῖται.) ἦν δὲ ῥήτωρ καὶ δημαγωγός. οὗτος μέγαν πώγωνα ἔχων, ἐπεκαλεῖτο σακεσφόρος. καὶ Πλάτων ὁ κωμικός φησιν

ἄναξ ὑπήνης Ἐπίκρατες σακεσφόρε.

74. Λακωνικάς : Εἶδος ὑποδήματος.

77. Λαμίου : Λάμιός τις πένης καὶ ἀπὸ ξυλοφορίας ζῶν. (διὸ καὶ βακτηρίαν ἐξενέγκασα αὐτοῦ φησιν εἶναι. κωμῳδεῖται γὰρ καὶ ὡς δεσμοφύλαξ. ἀρσενικῶς δὲ Λαμίαν. ὑπὲρ ἧς ὁ Κράτης λέγει ἐν τῷ ὁμωνύμῳ δράματι, ὅτι σκυτάλην ἔχουσα ἐπέρδετο.)

78. ὧν πέρδεται : Ἀντὶ τοῦ ὧν φέρει. ἢ ἴσως ὑπὸ τοῦ βάρους ἐπέρδετο. — τὸ σκύταλον τὸ ῥόπαλον. R. Γ.

80. (τὴν τοῦ πανόπτου : Τοῦ τὴν Ἰὼ φυλάττοντος. αἰνίττεται δὲ ὡς ὄντος αὐτοῦ δεσμοφύλακος. ἀναφέρει δὲ τοῦτον ἐπὶ τὸν παρὰ Σοφοκλεῖ ἐν Ἰνάχῳ Ἄργον.)

81. εἴπερ τις ἄλλος : Ὡς οὐδεὶς ἄλλος τὸν δῆμον. βουκολεῖν δὲ ὡς τὴν Ἰὼ ὁ Ἄργος ἐν Ἰνάχῳ Σοφοκλέους. R.

87. ὑπὸ τῷ λίθῳ : Ὑπὸ τῷ βήματι.

88. ταυτί γε τοι : Γυνὴ ἔρχεται φέρουσα καὶ ξαίνουσα ἔρια, πρὶν ἀπελθεῖν ἐκεῖσε.

89. πληρουμένης : Οἷον ἕως συνάγονται. φθάσαι γάρ, φησί, δεῖ, καὶ μὴ μεῖναι ἕως πληρωθῇ.

94. παραφῆναι : Παραδεῖξαι ὡς πρὸς ἄνδρας.

96. ὑπερβαίνουσαν : Ἐπὶ τὸ βῆμα ἀναβαίνουσαν.

97. Φορμίσιος : (Καὶ) οὗτος δασὺς (ἦν). αἰνίττεται δὲ τὸ (γυναικεῖον) αἰδοῖον.

100. ἀντὶ τοῦ ὅτε καθήμεθα. R.

102. Ἀγύρριος : Ὁ Ἀγύρριος στρατηγὸς θηλυδριώδης, ἄρξας ἐν Λέσβῳ. καὶ τὸν μισθὸν δὲ τῶν ποιητῶν συνέτεμε, (καὶ πρῶτος ἐκκλησιαστικὸν δέδωκεν). ὁ δὲ Πρόνομος αὐλητὴς μέγαν ἔχων πώγωνα, Ἀγύρριος δὲ εὐρύπρωκτος. οὗτος οὖν τὸν Προνόμου ἔχων πώγωνα λανθάνει ὢν γυνή.

105. τούτου γέ τοι : Νὺξ γὰρ ὑπόκειται ἔτι. ὑπερβατόν· καὶ τὸ ἑξῆς· τούτου γέ τοι ἕνεκα τοσοῦτον τόλμημα τολμῶμεν, νὴ τὴν ἐπιοῦσαν ἡμέραν, ἥν πως παραλαβεῖν.

109. νῦν μὲν γάρ : Παρὰ τὴν παροιμίαν

ὅκ' ἀργύριον ᾖ πάντα θεῖ κἀλαύνεται.

ὃ ἐστιν οὔτε ἀνέμοις οὔτε κώπαις πλέομεν.

110. (καὶ πῶς γυναικῶν : Ἐκ τραγῳδίας τοῦτο.)

113. σποδοῦνται : Κινοῦνται.

114. (κατὰ τύχην : Ἤγουν κατὰ συνουσίαν.)

115. ἡ 'μὴ 'μπειρία : Ἀντὶ τοῦ ἡ ἀπειρία.

116. ἐπίτηδες : Ἀντὶ τοῦ ἐκ σπουδῆς. R. Γ.

117. ἅτινα. R.

118. περιδουμένη : Περιδεσμεύουσα τὴν τριχίνην γενειάδα. γένειον γὰρ ὁ τόπος.

121. περίδου : Περίθες.

122. περιδήσομαι : Ὅτι καὶ οἱ δημαγωγοὶ ἐστέφοντο.

124. (τάλαν : Παρέλκει τὸ τάλαν.)

125. καταγέλαστον : Τὸ ἡμᾶς πώγωνας ἔχειν.

126. σηπίαις : (Σηπία εἶδος ἰχθύος.) ἀπρόσλογος δὲ ἡ εἰκασία. — λευκαὶ γὰρ αἱ σηπίαι. R. ἐσταθευμέναις δὲ, ἐξ ἐπιπολῆς ὀπτηθείσαις. (σταθεύειν γὰρ τὸ μὴ λίαν ὀπτῆσαι. ἢ χλιανθείσαις πυρί.)

128. περιστίαρχος : Ὁ τῶν καθαρσίων προηγούμενος ἐν ταῖς ἐκκλησίαις. περίστια γὰρ τὰ καθάρσια.

τὴν γαλῆν : εἰς τὴν λεπτότητα τοῦ δελφακίου. R. Γ.

129. Ἀρίφραδες : Ὡς ἀναμεμιγμένου αὐταῖς. λοιδορεῖται δὲ πρὸς γυναῖκας αἰσχρὸς ὢν κιθαρῳδός.

131. στεφανοῦνται γὰρ οἱ δημηγοροῦντες. Γ.

132. πρὸς τὸ τῶν γυναικῶν φίλοινον. R. Γ.

133. ἐστεφανωσάμην : ἐπεὶ καὶ οἱ ἐν τοῖς συμποσίοις ἐστεφανοῦντο. R. Γ.

137. οὐ μόνον ζωρὸν, ἀλλὰ καὶ εὔζωρον, ἄκρατον. R.

138. ἀντὶ τοῦ ἐνθυμουμένων. R. Γ.

139. μεθυόντων ἐστὶ : Μανικά. διαβάλλει τοὺς Ἀθηναίους ὡς ἀεὶ κακὰ βουλευομένους.

145. μὴ ἔχειν τοῦτον τὸν πώγωνα. R. Γ.

146. ἀφαυανθήσομαι : Ξηρανθήσομαι.

148. ἐργάζεται : Τὸ πρᾶγμα ἀνύεται. λέγει δὲ ὅτι λοιπὸν πρωΐας ἐγένετο.

150. διερεισαμένη : Οἷον διαπηξαμένη, ἀσφαλισαμένη.

151. (τῶν ἠθάδων : Τῶν ἔθος ἐχόντων λέγειν.)

152. ἥσυχος : ἀντὶ τοῦ ἥσυχα τάδε τοιαῦτα ἐστί. Rav.

153. (ἐμὴν μίαν : Λείπει γνώμην.)

155. μὰ τὼ θεώ : (Ἐπειδὴ γυναικῶν ὁ ὅρκος.) παίζει. οὐ γὰρ δεῖ σε, φησὶν, ὑποκρινομένην ἄνδρα γυναικεῖον ὅρκον ὀμνύναι τὰς θεάς.

162. ἀκριβωθήσεται : Ἀκριβῶς μελετηθήσεται.

167. Ἐπίγονόν γ' ἐκεῖνον : Οὗτος κωμῳδεῖται ὡς μαλακὸς καὶ ὡς μετὰ γυναικῶν ἀεὶ εὑρισκόμενος.

169. ἀποφθείρου, πορεύου μετὰ φθορᾶς. R. Γ.

171 τὸν στέφανον. R.

172. ἀντὶ τοῦ κατορθῶσαι. R.

175. τὰ τῆς πόλεως : Ἐντεῦθεν ἡ ὑπόκρισις τῆς δημηγορίας.

185. οὗτος πονηρός ἐστι. R.

188. τοὺς μισθοφορεῖν : Τοὺς μισθοὺς βουλομένους λαβεῖν. καὶ γὰρ παρὰ τῶν δημαγωγῶν λαμβάνουσι, καὶ ὁ μὴ λαβὼν μισεῖ θέλων λαβεῖν.

193. τὸ συμμαχικόν : Τὸ πρὸς τοὺς συμμάχους δίκαιον. R. Γ. ἡ μὲν γνώμη τίς ἦν καὶ ὑπὸ τίνος ἄδηλον. περὶ δὲ τοῦ συμμαχικοῦ Φιλόχορος ἱστορεῖ ὅτι πρὸ δύο ἐτῶν ἐγένετο συμμαχία Λακεδαιμονίων καὶ Βοιωτῶν.

196. ὁ τοῦτ' ἀναπείσας : Κόνωνα λέγει.

198. γεωργοῖς : Ἐβαροῦντο γὰρ (ταῖς) τριηραρχίαις.

199. Κορινθίοις : Ἦσαν γὰρ διάφοροι. τὸ δὲ σοί ὡς πρὸς τὸν δῆμον.

201. Ἱερώνυμος σοφός : Κατ' εἰρωνείαν. ὁ γὰρ Ἀργεῖος σοφὸς, ὁ δ' Ἱερώνυμος ἀμαθής. ταῦτα δὲ εἰς τὸ κωμῳδῆσαί τινας. τὸ δὲ Ἀργεῖος ὄνομα κύριον.

203. Θρασύβουλος : (Οὗτος αὐθάδης καὶ δωροδόκος,) ὑπερόπτης (ὢν) τοῦ δήμου, ἠβούλετο δι' αὐτοῦ πάντα πράττεσθαι.

204. διὰ τὸ ἀνήρ. R.

206. (τὰ δημόσια γὰρ μισθοφοροῦντες : Ὅπως μὲν αὐτοὶ κερδανεῖτε, σκοπεῖσθε· ὅπως δὲ φροντίσετε περὶ τῶν κοινῶν, ἐξ ὧν μισθοφορίαι, ἀμελεῖτε τοῦ κοινοῦ.)

208. Αἴσιμος : Χωλὸς ἄτιμος καὶ ἀμαθής. — ἄτιμος οὗτος καὶ χωλός. τὸ δὲ κοινὸν ὅτι τὸ κοινὸν ἀμελεῖτε. σκοπεῖσθε δὲ, τί κερδανεῖτε. R.

209. (σωθήσεσθ' ἔτι : Παρέλκει τὸ ἔτι παρὰ τοῖς Ἀττικοῖς.)

212. (ταμίαις : Ἐφόροις, φύλαξι, διοικητρίαις.)

216. βάπτουσι : Πλύνουσι. — οὐδὲν καινοτομοῦσι, φησί. R.

217. ἁπαξάπασαι : ἀντὶ τοῦ πᾶσαι. τὰ δὲ τοιαῦτα Ἀττικά. μεταπειρωμένας : μεταβαινούσας, μεταβαλλομένας ἀπὸ πράγματος εἰς πρᾶγμα. R.

220. εἰ μή τι καινὸν ἄλλο : Ἀντὶ τοῦ, εἰ μὴ ἐπολυπραγμόνει καὶ καινὰς ἔφερε πολιτείας. — ἀντὶ τοῦ, εἰ ἐφύλαττε τὸν ἀρχαῖον νόμον. R.

φρύγουσι : Λείπει τὸ κριθάς. ἐπιτρίβουσι, μοιχεύουσιν, ἢ ἐν τῷ μηδὲν πράττειν.

226. παροψωνοῦσιν : Ἀντὶ τοῦ λάθρα ὀψωνοῦσιν.

227. εὔζωρον : Ἄκρατον.

230. μὴ περιλαλῶμεν : Μὴ φλυαρῶμεν.

232. σκεψάμενοι : Οἷον ἐκ τῶν ἐπαγομένων λογισάμενοι.

236. πορίζειν : Εὑρίσκειν, συνάγειν.

239. τὰ δ' ἄλλα : Μετὰ τὸ ἐάσω στικτέον. τὸ δὲ ταῦτα, οἷον ταῦτα συμβουλεύων.

243. ἐν πυκνί : Ἀντὶ τοῦ ἐν τῇ ἐκκλησίᾳ. ὡς ἀποκεκρυμμένων ἐκείνων τῶν μερῶν καὶ δυναμένων ἐκεῖ κρύπτεσθαι ἐπὶ τῆς φυγῆς τῶν τριάκοντα.

245. (ὦ μέλ' ἦσθα : Παρέλκει τὸ μέλε.)

246. οὐ ματαίως καὶ ἐτωσίως. δεινὴ καὶ σοφὴ, ἱκανὴ ἐν τῷ λέγειν. R. αὐτόθεν : Ἀπὸ τοῦ παρόντος χρόνου.

248. Κέφαλός σοι : Δημαγωγὸς οὗτος ἕτερος, οὐχ ὃν λέγει Δημοσθένης, ἀλλὰ λοίδορος.

252. τρύβλια : Εἶδος ὀξυβάφου τὸ τρύβλιον.

253. κεραμεύειν : Ἀπὸ κοινοῦ τὸ κεραμεύειν, ἀντὶ τοῦ κατεργάζεσθαι. ἦν δὲ κεραμέως πατρὸς ὁ Κέφαλος. ἔλεγον δὲ κεραμεύειν καὶ τὸ κακῶς ποιεῖν τὰ κοινά.

254. Νεοκλείδης ὁ γλάμων : Ἐκωμῳδεῖτο ὡς συκοφάντης καὶ ξένος καὶ κλέπτης. ὁ λημῶν· ὁ ἔχων τοὺς ὀφθαλμοὺς μεστοὺς ἀκαθαρσίας.

255. ἐς κυνὸς πυγήν : Παροιμία παιδικὴ ἐπὶ τῶν ὀφθαλμιώντων, ἐς κυνὸς πυγὴν ὁρᾶν καὶ τριῶν ἀλωπέκων.

256. ὑποκρούσωσί σε : Ὑποβάλλωσί σε. λαμβάνωνταί σου.

257. πολλῶν κρουμάτων : Καὶ μετὰ τούτου ἔπαιξε πρὸς τὴν ὁμωνυμίαν τῆς συνουσίας.

259. ἐξαγκωνιῶ : Τοὺς ἀγκῶνας ὑπὸ ταῖς πλευραῖς ποιήσω. οὐδέποτε γὰρ οὕτω μέση ληφθήσομαι. (Ἄλλως. παραδώσω, ἵνα τῶν χειρῶν ἕλῃ με, καὶ μὴ μέσην ἄρας με γνῷ ὅτι γυνή εἰμι ἐκ τῶν τιτθίων.)

260. ὡδί, οὕτως. R.

263. τίνι. (262) ἔσκεπται. R.

265. αἴρειν τὼ σκέλη : Ἐν τῇ συνουσίᾳ· λέγει τὰς χεῖρας αἴρειν, ὥσπερ οἱ ῥήτορες οἱ κρινόμενοι.

267. ἐξωμισάσαις : Ἄχρι τῶν ὤμων γυμνωσάσαις.

269. ὑποδεῖσθε : Ὑποδεσμεύσατε.

274. ἀκριβῶς ποιήσετε. R.

276. ἐπαναβάλεσθε : ἀντὶ τοῦ περιστολίσασθε. R.

280. προΐωμεν αὐτῶν : Προηγησώμεθα τῶν λοιπῶν γυναικῶν.

281. ἄντικρυς : ἀντὶ τοῦ αὐτίκα. R.

284. ὑπαποτρέχειν : Ὀπίσω τρέχειν.

πάτταλον : Τὸ τυχόν. οἱ γὰρ ὕστερον ἐλθόντες οὐκ ἐλάμβανον τὸ ἐκκλησιαστικόν.

285. τὸ ἄνδρας. R.

286. ἐκπέσῃ. R.

288. (ἐνδούμεναι : Καταδυόμεναι εἰς τηλικαύτην τόλμαν λάθρα.)

289. (χωρῶμεν : Τοῦτ' ἐστὶ τὸ μέλος ὃ εἶπεν ἔνδον αὐταῖς τὸ ἀγροικικόν.)

291. πρῴ μονοσυλλάβως. ἀντὶ τοῦ ἔτι κνέφους ὄντος.

κεκονιμένος : οἷον σπουδάζων πάνυ καὶ σχεδὸν κόνεως πεπληρωμένος. R.

292. ὑπότριμμα : Ἀντὶ τοῦ δριμύ. οἱ γὰρ δικάζοντες ὀφείλουσι δριμεῖς εἶναι.

στέργων : Ἡδόμενος σκορόδοις. καὶ τοῦτο ἀγροικικὸν ἐμφαίνει.

293. ἀναπλάττει ὀνόματα. R.

295. μηδὲν παραχορδιεῖς : Παρὰ ῥυθμὸν ποιήσεις, μηδὲν παραφθέγξῃ, ἀλλὰ δεῖ εἰπεῖν ὅπως. σύμβολόν δέ τι δηλοῖ φανερὸν ἤδη.

296. ἀντὶ τοῦ σεαυτόν. R.

297. πλησίον ἀλλήλων. R.

298. ὁπόσ' ἂν : Ὁπόσ' ἂν δέῃ χειροτονεῖν τὰς ἡμετέρας φίλας. R.

300. ὅρα δ' ὅπως : Ὁρᾷ ἄνδρας προσιόντας ἐν τῇ ἐκκλησίᾳ.

302. ἔνθα οἱ στέφανοι πλέκονται. ὡς διὰ τὴν εὐτέλειαν τοῦ μισθοῦ δικάζειν θελόντων. R.

303. Μυρωνίδης : Τῶν εὐδοκιμούντων οὗτος ὁ στρατηγός.

304. παρεγίνετο. R.

306. ἐν ἀσκιδίῳ : Πρὸς τὸ ἀρχαῖον ἔθος σεσημείωται.

310. πηλοφοροῦντες : Ὡς χειροτέχναι καὶ μισθωτοί.

317. ὁ Κοπρεαῖος : Βούλεται εἰπεῖν ὡς ὅτι ἠπειγόμην ἀποπατῆσαι.

318. ἡμιδιπλοΐδιον : Τὸ γυναικεῖον ἱμάτιον, ἢ ἀναβόλαιον γυναικῶν.

319. περσικάς : Εἶδος ὑποδημάτων.

ὑφέλκομαι : Ἀντὶ τοῦ περιδεσμεύομαι, ὑποδέδεμαι.

320. ἐν καθαρῷ : Οἷον ἐν ἐρημίᾳ.

330. Κινησίας : οὗτος μαλακός. R.

332. (κροκώτιον : Ὑποκοριστικῶς. εἴρηται δ' ἐν Βατράχοις [46], ὅτι ἔνδυμά ἐστι Διονυσιακὸν ὁ κροκωτός. ἐνταῦθα δὲ δῆλον ὡς γυναικεῖον. ἀμπισχόμενος δὲ) περιβεβλημένος.

337. ἐκτετρύπηκεν : ἀντὶ τοῦ λάθρα ἐξῆλθεν. R.

338. νεώτερον : Καινὸν καὶ ἄτοπον.

346. (κοθόρνω : Κόθορνος εἶδος ὑποδήματος, ἁρμόζον ἀμφοτέροις ποσί.)

347. (τὴν σισύραν : Τὸ μαλλωτὸν στρῶμα. φανὴ δὲ λαμπρὰ, καθαρά.)

349. γνώμην ἐμήν : Οἷον κατὰ τὴν ἐμὴν γνώμην καὶ οἴησιν.

350. ὅσον ἐμὲ εἰδέναι. R.

351. ἱμονιάν : Ἱμονιὰ καλεῖται τὸ σχοινίον, ἐν ᾧ ἀρύονται τοῦ ὕδατος. ταῦτα δὲ λέγει, ὡς αὐτοῦ μακρὰ ἀποπατοῦντος καὶ χέζοντος.

355. ἀχράς τις : Στένωσιν τῇ γαστρὶ παρέχει (ὁ λεγόμενος παρ' ἡμῖν ἄπιος. οὕτω γὰρ καὶ Πλάτων ἐν Νόμοις ἀπίους εἴρηκεν. οὐ μόνον δὲ, ἀλλὰ καὶ παρ' Ἀλέξιδι· καὶ ἐν Ἀγρίοις Φερεκράτει,

πρὶν ἀνακυκῆσαι τοὺς ἀπίους ἁρπαζέτω.

ἐπέχει δὲ τὴν γαστέρα ἡ ἀχράς.)

356. Θρασύβουλος : Οὗτος ἀντιλέγειν μέλλων τοῖς Λακεδαιμονίων πρέσβεσι περὶ σπονδῶν ἐληλυθόσιν, εἶτα δωροδοκήσας, ἀχράδας προσεποιήσατο βεβρωκέναι, καὶ μὴ δύνασθαι λέγειν.

357. οἷον ἐπίκειται καὶ θλίβει. R.

359. ἀλλ' ὅταν φάγω : (Ἀγωνιῶ δὲ, ἐὰν φάγω, οὕτω τὴν γαστέρα στενούμενος,) εἰς ποῖον τόπον χωρήσει ἡ ἔνδον κόπρος.

361. (βεβαλάνωκεν : Ἐκλείδωσεν. βάλανος γὰρ τὸ εἰς τὸν μοχλὸν σιδήριον, ὃ καλοῦμεν μάγγανον. ταῦτα δ' εἴρηται καὶ ἐν ἄλλοις.)

362. Ἀχραδούσιος : παρὰ τὴν Ἀχράδα. ἔστι δὲ δῆμος τῆς Ἱπποθοωντίδος φυλῆς Ἀχερδούς. R.

365. Ἀμύνων : Ῥήτωρ ἡταιρηκὼς, οὐκ ἰατρὸς ὁ Ἀμύνων.

366. Ἀντισθένην : ἰατρὸς θηλυδριώδης. καὶ οὗτος τῶν καταπρώκτων. R.

367. σφιγμάτων. R.

369. Εἰλείθυια : Ἐπεὶ αἱ ὠδίνουσαι ἐπικαλοῦνται τὴν Εἰλείθυιαν. καὶ αὐτὸς οὖν στενοχωρούμενος ἐπικαλεῖται αὐτήν.

370. κατεχόμενον ὑπὸ τῆς κόπρου. R.

371. σκωραμίς : (Ἀμὶς μὲν ἐν ᾧ οὐροῦσι,) σκωραμὶς (δὲ) ἐν ᾧ ἀποπατοῦσιν.

372. (οὗτος τί ποιεῖς : Ἀνήρ τις ἐπανιὼν ἀπὸ τῆς ἐκκλησίας Χρέμης.)

378. ἡ μίλτος : Κατὰ γὰρ τὴν ἀγορὰν ἐσόβουν εἰς ἐκκλησίαν τοὺς Ἀθηναίους μεμιλτωμένῳ σχοινίῳ. (μίλτος δὲ χρώματος εἶδος ἐρυθροῦ. καὶ Ὅμηρος [Il. B, 637] « νῆες μιλτοπάρηοι. » προσέρραινον δὲ, προσέβαλον. θύλακον δὲ ἀρτοθήκην σημαίνειν καὶ ἐν Πλούτῳ ζητητέον. αἰσχύνομαι, φησίν, ἐπεὶ κενὸς ἔσται.)

379. ἔβαλλον κύκλῳ. R.

382. τῶν ἀλφίτων, ἐπεὶ κενός ἐστι. R.

385. σκυτοτόμοι : Ἐπειδὴ οἱ σκυτοτόμοι ἐν σκιᾷ καθεζόμενοι ἐργάζονται, τοῦτο ἔφη.

386. οὐ γάρ : καὶ γάρ. R.

390. τὸ δεύτερον : Ὁ γὰρ ἀλεκτρυὼν τρίτον κοκκύζει.

392. ἀποίμωξόν με : Παρὰ τὸ ἐξ Αἰσχύλου Μυρμιδόνων

Ἀντίλοχ', ἀποίμωξόν με τοῦ τεθνηκότος
τὸν ζῶντα μᾶλλον.

393. τἀμὰ γὰρ διοίχεται : Ἀντὶ τοῦ ἀπόλωλα.

395. ἐν ὥρα : Ἀντὶ τοῦ ὄρθρου.

398. παρείρπυσεν : Ὡς ἐπὶ ὄφεως εἶπεν, ἐπειδὴ τυφλὸς ἦν.

402. οὐκ ἐσώσατο : ἀντὶ τοῦ οὐκ ἔσωσε. R.

404. ὀπῷ : Πάνυ γὰρ δριμύτατος ὁ ὀπός. τιθύμαλλος δὲ εἶδος βοτάνης δριμυτάτης. ἴσως δὲ αὕτη παρὰ Λάκωνιν εὑρίσκεται. εἰώθασι δὲ οἱ ἰατροὶ καὶ πατρίδας ὑπ' ἀλαζονείας τῶν βοτανῶν ὀνομάζειν, (οἷον Κυρηναϊκὸν ὀπὸν καὶ Σμυρναϊκόν. ἦν μέντοι διαβόητος καὶ ὁ Λακωνικὸς τιθύμαλλος).

408. πένης οὗτος. R.

416. ἥλιος τραπῇ : Εἰς χειμερινὴν δηλονότι τροπήν.

417. πλευρῖτις : εἶδος νοσήματος. R.

423. ἀντέλεγεν. R.

424. τοῖς πένησι. R.

425. κλάειν μακρά : Τοῦτο λέγει γέλωτος χάριν.

426. Ναυσικύδους : Οἱ μὲν ὅτι ἀλφιταμοιβός. οἱ δὲ ὅτι πένης· οἱ δὲ ὅτι οἱ ἀλφιταμοιβοὶ τοῦ Ναυσικύδους τοῦτο ἀπέλαυσαν.

428. γυναικώδης οὗτος. R.

433. ἀνεβορβόρυξαν : Ἀνετάραττον.

νοῦν γὰρ εἶχον, νὴ Δία : Αἱ γυναῖκες εἰς ἄνδρας σκευασθεῖσαι.

440. ἄλλως ἀντὶ τοῦ ματαίως. τοῦτο δὲ ὡς ἐν ἐρωτήσει. R.

441. νουθυστικὸν : Νοῦ πεπληρωμένον.

443. ἀντὶ τοῦ τοὺς Ἀθηναίους. R.

446. συμβάλλειν : Μεταδιδόναι, κιχρᾶν.

449. ἀποδιδόναι. R.

450. τὸ ἀποστερεῖν. R.

452. εἰς ἀγορὰν φέρειν. R.

453. βλάπτειν. R.

457. φήμ' ἐγώ : Ὡς φιλούντων αὐτῶν τὰ μὴ γενόμενα καινοποιεῖν.

465. τοῖσιν ἡλίκοισι : Ἀντὶ τοῦ τοῖς γέρουσι.

471. ἀηδές. R.

473. λόγος τέ τοι τίς ἐστι : Λέγεται, ὅτε Ποσειδῶν καὶ Ἀθηνᾶ ἐφιλονείκησαν περὶ τῆς Ἀττικῆς, νικῆσαι τὴν Ἀθηνᾶν. καὶ φασὶν ἡττηθέντα τὸν Ποσειδῶνα καὶ λυπηθέντα καταρᾶσθαι τῇ πόλει, καὶ λέγειν αὐτὸν ὅτι γένοιτο τοὺς Ἀθηναίους ἀεὶ κακῶς βουλεύεσθαι, ἀκούουσαν δὲ τὴν Ἀθηνᾶν προσθεῖναι ὅτι κακῶς βουλεύεσθαι καὶ ἐπιτυγχάνειν.

478. (ἔμβα, χώρει : Ἐξέρχεται ὁ χορὸς ἀπὸ τῆς ἐκκλησίας.)

482. τὸ ἀνδρεῖον. R.

483. ψόφον ποιῶν. R.

498. παραβλέπουσα : Μὴ ἀτενίζουσα, φησὶν, ἀλλὰ τῷ ἑτέρῳ ὀφθαλμῷ βλέπουσα.

499. ἧπερ ἦσθα : ἀντὶ τοῦ ὡς ἦσθα. R.

502. σάκον λέγει τὸν πώγωνα.

507. τὰ ὑποδήματα. R.

508. συναπτούς : Τὰς συναπτούσας καὶ δεσμευούσας τὰ ὑποδήματα.

511. παρερπύσασα : Ἠρέμα εἰσελθοῦσα.

519. ἐν τῇ ἐκκλησίᾳ. R.

520. ἀνὴρ Πραξαγόρας. R.

523. ἐξερευνῆσαι. R.

531. ὠδινούσης. R.

533. μηδὲν κλέψας ἔνδοθεν. R.

534. ἥτις μετεκάλεσέ με. R.

536. τὸ γυναικεῖον ἱμάτιον. R.

537. τ ροκείμενον : Νεκρόν.

538. στεφανώσασα : Εἰώθασι γὰρ ἐπὶ τῶν νεκρῶν τοῦτο ποιεῖν.

540. ἀλεαίνοιμι : Θερμανοίμην.

544. ἵνα σε μιμησαμένη σώσαιμι τὸ ἱμάτιον. R.

547. πυρῶν ἑκτέα : Τριωβόλου ἴσως ἦν. λέγει οὖν ὅτι οἴκοι μένων τὸ τριώβολον ἀπολώλεκεν. R.

550. προσποιουμένη ἐρωτᾷ ἐπίτηδες εἰ γέγονεν ἡ ἐκκλησία ὡς ἀγνοοῦσα. R.

554. οἷον ἐντρυφῶσα διὰ τὴν ἐξουσίαν. R.

556. Ἀττικόν ἐστιν ἀντὶ τοῦ πάντων. R.

562. ἄλλος Βλέπυρος ἐλθών. R.

563. μηδ' ἀφέλης μου τὸν βίον : Διοικοῦσα μετὰ τῶν ἄλλων γυναικῶν.

567. μὴ 'νεχυραζόμενον : Τὴν ἑαυτοῦ οὐσίαν. ἔθος γὰρ ἦν τοῖς δικαζομένοις ἐνέχυρα διδόναι τὴν ἑαυτῶν οὐσίαν.

574. πολίτην : Τὸν τῆς πόλεως. R.

587. ἄλλης ἀρχῆς : ἀντὶ τοῦ ἄρχειν τὸ καινοτομεῖν. R.

592. οἷον μηδὲ τὸ τυχόν. R.

595. (σπέλεθον : Κόπρον. καὶ ἀλλαχοῦ [Ach. 1169]

κατεᾶξαι βουλόμενος ἐν σκότῳ λάβοι
τῇ χειρὶ σπέλεθον ἀρτίως κεχεσμένον.)

596. ἔφθης μ' ὑποκρούσας : Ὅτι ὑπεκρούσω καὶ ἠρώτησας πρότερόν μου.

599. θρέψομεν. R.

602. δαρεικὸς εἶδος νομίσματος. R.

603. διὰ τὸ ἐπιορκεῖν. R.

605. ἐν πενίᾳ δράσει : Ἀντὶ τοῦ, οὐδεὶς αἰσχρόν τι δράσει, ἢ ἐργάσεταί τι, παρακειμένων ἀφθόνως ἅπασιν.

611. σκαλαθῦραι : Συνουσιάσαι.

612. τῶν κοινῶν χρημάτων. R.

616. συνουσιάζειν. R.

617. αἱ φαυλότεραι : αἱ ἄμορφοι. R.

620. οὐκ ἐπιλείψει : οὐκ ἀρκέσει. ἐκεῖσ' : πρὸς τὰς εὐμόρφους. R.

622. τὸ περὶ τούτων μάχεσθαι. R.

625. τὸ τοὺς ἀμόρφους. R.

627. τόποις. R.

630. ἡ Λυσικράτους : σιμὸς καὶ αἰσχρὸς ὁ Λυσικράτης. R.

631. καταχήνη : Κατάγελως.

632. τῶν πλουσίων. R. Γ.

633. γεροντικόν τι καὶ εὐτελὲς ὑπόδημα. R.

640. ἀγνὼς ᾖ : ὁ πατήρ. R.

643. λείπει ὁ καί σύνδεσμος. R.

644. οὗτοι αἰσχροί. R.

647. Ἀρίστυλλος : αἰσχροποιὸς οὗτος. R.

648. καλαμίνθης : Δυσώδης βοτάνη (ἡ καλαμίνθη) καὶ ὄφεις ἐλαύνει καιομένη.

649. γενέσθαι ἀντὶ τοῦ ἐγενήθη. R.

652. δεκάπουν : Ἡ τοῦ ἡλίου σκιά, ὅταν ᾖ δέκα ποδῶν. θέλει οὖν εἰπεῖν, ὅτε γίνεται τὸ ὀψινόν.

657. ὡς πρὸς φιλόδικον τοῦτο ὁ χορός. R.

658. γνώμην ἐθέμην : Οἷον κἀμοὶ τοῦτο δοκεῖ σύμφορον εἶναι τὸ μὴ εἶναι δικαστήρια.

663. τῆς αἰκίας : τῆς ὕβρεως. R.

665. ἀπὸ τῆς μάζης : Ἀπὸ τῆς τροφῆς, φησὶν, ἧς λαμβάνει ἀπὸ τοῦ δημοσίου, δίδωσι τὴν ζημίαν.

667. οὐδ' αὖ : ἐρωτηματικῶς. μετὸν : μέτεστι. R.

670. αὐτὸς δώσει : Ὁ ἀποδυόμενος ἑκὼν, ἐξὸν αὐτῷ βέλτιον λαβεῖν.

672. ἕνεκα τίνος.     καὶ οἱ κυβευταὶ γὰρ δίκην παρεῖχον. R.

673. τὴν καθ' ἑκάστην τροφήν. R.

677. βῆμα : ὁ λίθος ἐν τῷ δικαστηρίῳ. R.

681. κληρωτήρια : Τὰς κληρωτὰς ἀρχάς.

683. γράμματι δειπνεῖ : Δέον εἰπεῖν δικάζειν, εἶπε δειπνεῖν.

685. βασίλειον : ἐπεὶ τὸ βασίλειον ἀπὸ τοῦ β ἄρχεται. R.

ἐς τὴν παρὰ ταύτην : Τοὺς θῆτας, τοὺς μισθωτοὺς εἰς τὸ Θησεῖον· ἐπεὶ πάλιν ἀπὸ τοῦ θῆτα ἄρχεται.

687. τὸ κάπτωσιν ἀπὸ τοῦ κ. διὸ ἐπὶ τῶν ἐκ τοῦ κ ἔφη.

691. σὺν αὐτῷ τῷ στεφάνῳ. R

693. διόδους : Τὰς ὁδούς. ἀπὸ τοῦ διοδεύειν.

694. συναντῶσαι. R.

702. οἱ ἀμορφότεροι. R.

705. ἀντὶ τοῦ τοῖς ἀμόρφοις. R.

708. διφόρου συκῆς : Ἡ παρὰ τὴν δίκην τὸ διφόρου, ἢ ὅτι καὶ δίφοροί εἰσι. τοῦτο δὲ ἵνα κνησμὸν αὐτοῖς τὸ φύλλον ἐμποιῇ.

713. δυναμένην μεγάλα βοῆσαι. ὡς κήρυκα. R.

714. ᾑρημένην : κεχειροτονημένην. R.

724. κατωνάκη : (Ἱμάτιόν ἐστιν ἐκ τῶν κάτω μερῶν νάκος, τουτέστι διφθέραν, περιερραμμένον. ἐνθαῦτα δὲ) δουλικὸς καὶ ἀνελεύθερος χιτών.

729. προχειριοῦμαι : Εὐτρεπίσω. — κἀξετάσω : ἀναζητήσω, ἐρευνήσω. R.

730. κιναχύρα : Ὄνομα δούλης.

731. τῶν χρημάτων : ἀντὶ τοῦ καλλίστην πάντων τῶν χρημάτων μου. R.

732. ἐντετριμμένη : Ἀντὶ τοῦ σμηχθεῖσα, ἢ εἰδυῖα. στρέψασα δὲ κλέψασα. — κανηφορῇς : τὰ κανίσκια ἔχουσα. R.

733 κλέψασα. R.

734. διφροφόρος : Ἡ τὸ σελλίον (ἢ τὸ καθιστήριον) βαστάζουσα.

ἡ χύτρα δεῦρ' ἔξιθι : Ὡς ἐν κωμῳδίᾳ καὶ τὴν χύτραν ἔξω καλεῖ χάριν γέλωτος.

736. μελαίνεται : Ὡς τοῦ Λυσιστράτου φαρμάκῳ μελαίνοντος αὐτοῦ τὰς πολιάς.

737. κομμώτρια : (Ἐμπλέκτρια, ἡ κοσμοῦσα τὰς γυναῖκας.) — ἣν καλοῦμεν νῦν κουρίδα. R.

739. κιθαρῳδός : Ἡ ἀλετρίς.

740. ἀναστήσασα : ἀλήθουσα. R.

741. ἀωρὶ νύκτωρ : ὄρθρου. R. τὸν ὄρθριον νόμον : Οὕτω καλούμενος νόμος κιθαρῳδικὸς ὁ ὄρθριος.

742. τὰ κηρία : Ἴσως τοὺς κηρῶνας λέγει.

743. καθίστη πλησίον : Τοὺς τῆς ἐλαίας κλάδους, ὡς ἐν πομπῇ.

747. ἀντὶ τοῦ οὐδὲ ὀλίγον. R.

748. ἐξερευνήσω. R.

750. τὰ χρήματα. R.

751. πρὸς ἔπος : Ἀντὶ τοῦ ὡς ἔτυχεν, ἕνεκα μηδενός.

753. μετοικίσαι θέλων. R.

756. κατὰ τάξιν. R.

757. πέμπεται : Κῆρυξ οὗτος ὅστις τὰ πιπρασκόμενα ἐκήρυττε. τὸ δὲ πομπὴν ὅτι ὡς ἐν πομπῇ αὐτὰ ἐξάγει.

768. (ἀβέλτερον : Ἀνόητον, ἀσύνετον.)

781. διδόναι τἀγαθά : Ἐπειδὴ ὡς ἐπιτοπλεῖστον τὰ ἀγάλματα τῶν θεῶν ὑπτίας τὰς χεῖρας ἔχουσιν.

784. ὦ δαιμόνι' ἀνδρῶν : (Τοῦτό φησιν) ἀνὴρ ὁ θέλων καταθεῖναι.

794. εἰ γένοιτο : Εἰ γένοιτό τι σύμβολον, οὐκ ἐπιτελοῦσι τὰ δόξαντα.

794. εἰ μὴ 'χοιμ' ὅποι : Ἐὰν ἐμβραδύνων, μηδὲ ὅπη καταθῶ αὐτὰ εὕρω.

796. εἰς τρίτην. R.

798. παρ' ὑπόνοιαν τοῦτο. R.

806. πένης οὗτος καὶ εὐρύπρωκτος. R.

809. Καλλίμαχος : Καὶ οὗτος πένης καὶ χαμαιδιδάσκαλος. (αὐτοῖσι δὲ σὺν αὐτοῖς.)

810. Καλλίου : Καλλίας τις ἐγένετο πλούσιος, ὃς εἰς πόρνας τὴν ἑαυτοῦ οὐσίαν κατηνάλωσε, καὶ λοιπὸν πένης ἐγένετο.

813. ψηφίσματα : Ἐψηφίσαντο γὰρ αὐτοὺς εὐωνοτέρους εἶναι, καὶ τὸ ψήφισμα ἄκυρον γέγονε.

825. τῆς τεσσαρακοστῆς : Οὗτος ἔγραψε τεσσαρακοστὴν εἰσενεγκεῖν ἀπὸ τῆς οὐσίας εἰς τὸ κοινόν.

828. ταυτολογία καὶ λῆροι. R.

831. φυλάξομαι : Ὥστε ἐπιμέλειαν ἡμῶν ποιεῖσθαι.

833. ἀνάφορον : Ξύλον ἀμφίκοιλον, ἐν ᾧ τὰ φορτία ἐξαρτήσαντες οἱ ἐργάται βαστάζουσιν.

834. κοινῇ πάντες ἀστοὶ γεγενήμεθα. R. Γ.

835. ἀντὶ τοῦ πρὸς αὐτήν. Ἀττικὰ γάρ ἐστι τὰ τοιαῦτα. R. Γ.

838. ἐπινενασμέναι : Πεπληρωμέναι.

840. σισυρῶν : Τῶν μαλλωτῶν στρωμάτων. (δαπίδων δὲ) τῶν ταπήτων.

842. ῥιπίζεται : Ἀντὶ τοῦ ὀπτᾶται. τὸ γὰρ πῦρ οἱ ἄνθρωποι ἐρρίπιζον, ἵνα ὀπτήσωσιν.

844. (τραγήματα δὲ) τὰ τρωγάλια λέγει. (ἔτνος δὲ) εἶδος ἀθάρας ἀπὸ φασηλίων.

846. Σμοιός : Κύριον ὄνομα. αἰσχροποιὸς εἰς γυναῖκας, καὶ ἱππεύσας πρότερον, καὶ τοῖς ναύταις διανέμων τὰ τρύβλια.

848. κονίποδα : Στενὸν σανδάλιον.

852. διοίγετε διχῶς. R.

853. ἀνὴρ ὁ μὴ καταθείς. παρέλκεται τὸ ἔχων. Ἀττικὸν γὰρ τὸ τοιοῦτον. R.

862. ἢν δὲ κωλύσωσιν : Ἐξ ὧν πρώην αὐτὸς μὴ βουλόμενος τὴν οὐσίαν καταθεῖναι ἐπηρώτα.

864. εἰς τὸ αὐτό. R.

865. εἰς δικαστήριον. R.

867. ὁ καταθείς. R.

868. παμπησίαν : Τὴν πᾶσαν κτῆσιν.

869. ξυμβαστάσω. ὁ μὴ καταθείς. R.

871. προσποιῇ : Μὴ προσποιῇ διαφέρειν.

873. σὺν τοῖσδε. R.

874. τῶν ματτομένων : Τῶν προσοψημάτων.

880. μινυρομένη : Ἀντὶ τοῦ ἠρέμα ᾄδουσα.

883. τῶν Ἰωνικῶν : Τῶν τρυφηλῶν. Ἴωνες (γὰρ) τρυφηλοί.

888. προσελκύσαι. R.

888. ἐπιβαρές. R.

890. ἡ γραῦς τῷ αἰδοίῳ λέγει. R.

893. ᾄδει ἡ γραῦς. R.

895. τὸ ἔμπειρον. R.

896. ταῖς γραῖσι. R.

900. ἀντᾴδει ἡ νέα τῇ γραΐ. R.

903. ταῖς παρειαῖς. R.

904. γραῦ : Ἦ τὰς πολιάς σου παραλέλεξαι. ἢ ἐπλέξω τὰς τρίχας μίαν παρὰ μίαν.

905. ἐσμήχθη ψιμυθίῳ. R.

906. τρῆμα : (Ἢ τὸ τοῦ κόσμου λέγει, ἢ αὐτὸ τὸ τρῆμα, τὸ αἰδοῖον.) εἶδος κοσμίου τὸ ἐπίκλιντρον. ὄφιν ἢ τὸ ζῷον ἢ ἐπὶ τοῦ αἰδοίου.

915. ἀλλ' ὦ μαῖα : Πρὸς τὴν γραῦν. (ὀφθαγόραν δὲ) τὸ αἰδοῖον.

918. τὸν ἀπὸ Ἰωνίας : Ὡς μαλακῶν ἐκείνων ὄντων.

920. λάβδα : Λαικάζουσιν οἱ Λέσβιοι ἀπὸ τοῦ ἄρχοντος στοιχείου.

922. τἀμὰ δὲ παίγνια : Ἀντὶ τοῦ τοὺς ἐμοὺς ἐραστάς.

923. τὴν ἡλικίαν. νικήσεις. R.

926. ἐπ' ἐκφοράν γε : Ὅτι τῶν γραϊδίων ἐκφέρουσι τὴν οὐσίαν οἱ ἐρώμενοι. — καινὸν, ὅτι οὐκ ἐπ' ἐκφοράν. R.

929. ἡ ῎γχουσα : Ἡ ἄγχουσα βοτάνη δηλονότι, ᾗ ἐχρῶντο εἰς τὰ πρόσωπα αἱ γυναῖκες.

932. Γέρης : Φαλακρὸς οὗτος καὶ πένης. οὐ γὰρ παρὰ τὸ γῆρας.

933. ὁ Ἐπιγένης. R.

936. ἀπέρχομαι : Ἵνα αὐτὸν ἐρεθίσω. — ἡ νεωτέρα. Rav.

940. ἄμορφον. R.

943. τὰ 'πὶ Χαριξένης : Εὐήθης καὶ μωρὰ ἡ Χαριξένη.

954. πολὺς ἢ ὑπὲρ τὸ δέον. R.

956. ταῦτα εἰποῦσα εἰσέρχεται. R.

958. ὑπὸ τοῦ ἔρωτός φησι. R.

963. φίλον : ἀντὶ τοῦ ὦ φίλη. R.

964. πληκτίζεσθαι : διατύπτεσθαι. R.

973. μέλημα : ἀντὶ τοῦ τίμιον. R.

974. καλλώπισμα. R.

977. ἡ γραῦς ἐξελθοῦσα. R.

979. Ἀναφλύστιον : Παρὰ τὸ ἀναφλᾶν παίζει.

984. εἴκοσι γάρ : Ἀπὸ τῶν δικῶν. ἔλεγον γὰρ ἀεὶ τὰ πρὸ τόσων ἐτῶν δικάζομεν.

987. Παιτοί : Ἔθνος μέν ἐστι Θρᾳκικόν. ἔπαιξε δὲ παρὰ τὸ παισίν.

988. τὸν πρωκτὸν λέγει. R.

991. κρησέραν : Τὸ περιβόλαιον τῶν κοφίνων. ἔστι δὲ δι' ἔρωτος. τοῦτο οὖν ὡς πρὸς γραῦν.

996. ζωγραφεῖ : Τοιαῦτα γάρ τινα ἐν τοῖς μνήμασιν ἔγραφον.

998. ἔγωγε νὴ Δία : Βούλομαί σε ἀπιέναι ἐπὶ θάνατον. πρὸς γὰρ τοῦτο παίζει.

999. μὰ τὴν Ἀφροδίτην : Ὡς ἑταίρα οὖσα τοῦτό φησι.

1002. τί δῆτα κρεάγρας : Τοῦτο ὅτι στερρῶς αὐτοῦ εἴχετο ὡς κρεάγρα.

1007. τὴν πεντακοσιοστήν : Εἰ μὴ ὑπὲρ ἐμοῦ κατέβαλες τὴν πεντακοσιοστήν. νόμος γὰρ τοῦ μὴ φέροντος τὴν οὐσίαν δημοσίαν εἶναι.

1020. ἀνατί : Μὴ τιμωρουμένας ὑπὲρ τῆς βίας. — τοῦ πέους. R.

1021. προκρούστης : Ἐπεὶ πολλάκις εἴρηται τὸ κρούειν.

1023. ἐὰν ἀπὸ σοῦ ἀφαιρῆταί με. R.

1025. ὑπὲρ μέδιμνον : Νόμος ἦν ταῖς γυναιξὶ μὴ ἐξεῖναι ὑπὲρ μέδιμνόν τι συναλλάσσειν. οὐκ ἔσονται οὖν, φησὶν, οἱ ἄνδρες οὐδενὸς ὑπὲρ μέδιμνον κύριοι, ἐπειδὴ ἀντέστραπται ἡ πολιτεία.

1026. ὀμόσαι ὡς οὐκ ἂν δυναίμην. R.

1027. ἔμπορος : Προφασίσομαι εἶναι ἔμπορος, ὡς ἐπὶ κινδυνευόντων, ἐπειδὴ οὐκ ἐστρατεύοντο οἱ ἔμποροι.

1029. Διομήδεια : Ὅτι Διομήδης ὁ Θρᾲξ, πόρνας ἔχων θυγατέρας, τοὺς παριόντας ξένους ἐβιάζετο αὐταῖς συνεῖναι, ἕως οὗ κόρον σχῶσι καὶ ἀναλωθῶσιν οἱ ἄνδρες· ἃς καὶ ὁ μῦθος ἵππους ἀνθρωποφάγους εἶπεν.

1032. ταινίωσαι : Στεφάνωσαι ὡς οἱ νεκροί.

1033. κατάθου τοὔστρακον πρὸ τῆς θύρας : πρὸ τῆς θύρας τὰ καλούμενα ἀρδάνια. R.

1034. στεφάνην : Εἶδος κοσμίου. διαπεσεῖσθαι δὲ, τεθνήξεσθαι.

1035. κηρίνων : στεφάνων. R.

1036. διαπεσεῖσθαι : τεθνήξεσθαι. διαρρυῆναι. R.

1042. Οἰδιπόδων : Ἐπειδὴ ὁ Οἰδίπους τὴν μητέρα ἐγάμησε.

1043. ὦ μισητή. R.

1048. παχεῖαν τὴν χάριν : Κακεμφάτως.

1050. τῶν νόμων. R.

1053. χεῖρον. R.

1054. ὁ νεώτερος. R.

1056. ἔμπουσά τις : Ἣν καλοῦμεν νῦν ὀνοσκελίδα. θέλει οὖν εἰπεῖν δαίμονα.

1057. φλύκταιναν : Ἤτοι ὡς ἐχούσης τῆς γραὸς κροκωτὸν, ἢ ὡς ἕλκος ἐχούσης.

1058. μαλακίων : ἀντὶ τοῦ εἰπεῖν μαλακὲ εἶπε μαλακίων. ὑποκοριστικὰ δὲ τὰ τοιαῦτα. R.

1063. μὴ πλέον : Τουτέστι, μὴ πλέον με ἀναγκάσῃς συνελθεῖν ἤπερ βούλομαι. τὸ δὲ κἀγώ ἴσως διὰ τὴν ἀνωτέρω ἱστορίαν περὶ τῶν Διομήδους θυγατέρων εἰρημένην.

1065. ἀξιόχρεως : ἀξιολόγους. R.

μή μοι : ἄλλη γραῦς τρίτη πρὸς τὸν νεώτερον. R.

1070. χεῖρον. R.

1071. διαβάλλει αὐτὴν ὡς ἄμορφον. μαστός. R.

1073. παρὰ τῶν πλειόνων : Παρὰ τῶν νεκρῶν.

1074. δύο γὰρ αὐτὸν κατεῖχον. R.

1086. πορθμῆς : Ἐπειδὴ οἱ πορθμῆς τοὺς παριόντας ἀναγκάζουσιν εἰς τὰ ἴδια πλοῖα ἐμβαίνειν.

1087. ἀπεκναίετε : Διεφθείρετε.

1089. κατὰ τὸ Καννώνου : Ψήφισμα γεγράφει κατεχόμενον ἑκατέρωθεν ἀπολογεῖσθαι τὸν κατ' εἰσαγγελίαν κρινόμενον. (Κρατῖνος δὲ καὶ πρὸς κλεψύδραν κελεῦσαι. Ξενοφῶν δὲ εἰς τὸ βάραθρον ἐμβληθέντα ἀποθανεῖν καὶ τὴν οὐσίαν ἀπολέσαντα.)

1090. διαλελειμμένον : Μέσον εἰλημμένον.

1092. βολβῶν χύτραν : Ἐπιτήδειοι γὰρ πρὸς συνουσίαν οἱ βολβοί.

1101. Φρύνην : Φρύνη ἀρχαία γυνή. οἱ δὲ ῥυτίς. λήκυθος δὲ, ᾠδηκυῖα.

1106. κασαλβάδοιν : (Κασαλβὰς ἡ πόρνη, ἀφ' οὗ ποιεῖ. αἱ γὰρ πόρναι καλοῦσι μὲν οὐκ ἔχουσαι τοὺς ἐραστάς· σοβοῦσι δὲ τοὺς ὄντας, ἵνα ἄλλους λάβωσι. παρὰ τὸ καλεῖν οὖν καὶ τὸ σοβεῖν.) — τῶν πορνῶν, ὡς ἐπὶ κινδύνου καὶ θαλάττης. R.

1111. διὰ τὴν αἰτίαν καὶ πρόφασιν. R.

1119. ἀμφορείδια : τὰ κεράμεια. R.

1121. (τὸ ἄνθος, καὶ ὁ Κρατῖνος ἐν τοῖς ἰδίοις τὰς θείας μορφὰς ἐν ἀρχῇ φανείσας.) ὡς ἐπὶ τῶν ἀνθῶν εἶπε τὸ ἀπανθήσαντα. ἀντὶ τοῦ ξηρανθέντα.

1123. εὐφρανεῖ τὰ ἀμφορείδια. R.

1124. ἐπιλεγομένας ἡμᾶς τὰς . . . . τερα. R.

1126. δεσποίνης. R.

1133. οὐ δεδείπνηκας μόνος : Παρ' ὑπόνοιαν. ἔδει γὰρ εἰπεῖν ὅτι μόνος εὐτυχεῖς τῶν πολιτῶν.

1138. τασδὶ τὰς μείρακας : Τὰς τοῦ χοροῦ.

1148. ἀληθῶς λέγει ὅτι οἴκοι γενόμενοι εὕροιεν τί δειπνήσειαν. R.

1151. διατρίβεις ἔχων : Τὸ ἔχων παρέλκεται. Ἀττικὸν γὰρ τὸ τοιοῦτο. R.

1158. μὴ τὸν κλῆρον : Ἐπεὶ τοῦ πρώτου εἰπόντος ὥσπερεὶ ἐμιαίνετο. τὰ ποιήματα δὲ τῶν ἑξῆς λεγόντων.

1159. προείληχα : Ὅτι πρῶτος, εἶπεν, ἐκληρώθην. (τὸ χρῆμα δρᾶν.) ἀντὶ τοῦ ἐξιέναι.

1165. ῥυθμός ἐστι Κρητικός.

1169. γαλῇ εἶδος ἰχθύος.

1174. ἀπὸ τῶν τραγανῶν καὶ τῶν πτερῶν.

σιραίῳ βαφέντα, ὅ ἐστιν ἑψήματι, ὃ ἡμεῖς γλυκιδίῳ.

1177. (κόνισαι : Γυμνάσθητι.)

1178. ἰσχυρῶς καὶ δεύτερον δειπνεῖν δυνηθείς.